© www.astrothesaurus.gr

## *Πάλχου· Περὶ γραμμάτων ἐνεχθέντων*

***Καταρχὴ ἀναγκαία εἰς ἣν ἀπέτυχον πλανηθείς, καὶ μετὰ ταῦτα εὑρηκὼς τὴν αἰτίαν, ἐθαύμασα τὴν ἐνέργειαν· περὶ γραμμάτων ἐνεχθέντων.***

Ἔτους Διοκλητιανοῦ σδ΄, μηνὶ Θὼθ ιζ΄, ἡμέρᾳ Κρόνου, ὥρᾳ α΄, ἠνέχθησαν γράμματά τινι λυπηρὰ ἔχοντα πάντα παρὰ πρόθεσιν τοῦ δεξαμένου. εὑρέθη δὲ ἡ καταρχὴ οὕτως· ☉ ♍ μοί(ρᾳ) ι΄, ☽ ♎ δ΄, ♄ ♐ ε΄ νς΄, ♃ ♎ ζ΄ νε΄, ♂ ♑ η΄, ♀ ♌ η΄, ☿ ♍ κε΄, ὡροσκόπος ♎ α΄, μεσουράνημα ♋ α΄, κλῆρος τύχης ♎ κε΄. ☊ ♏ β΄ κδ΄. εὗρον ἐγὼ τὸν μὲν Δία μοιρικῶς ὡρονομοῦντα. καὶ τὴν Ἀφροδίτην κατὰ τοῦ ὡροσκόπου καὶ τῆς Σελήνης καὶ τοῦ Διὸς καὶ τοῦ κλήρου τῆς τύχης ἀγαθοδαιμονοῦσαν καὶ ἑῴαν ἀνατολικὴν, καὶ τοῖς ἀριθμοῖς προσθετικὴν, καὶ δεκατεύουσαν τὴν τριταίαν τῆς Σελήνης, καὶ τὸ δωδεκατημόριον αὐτῆς Σκορπίον τετυχηκότα καὶ τὸν διέποντα τοῦ ὡροσκόπου τὸν Δία κατὰ κάθετον ὡρονομοῦντα. εἶπον διὰ ταῦτα συναρπαγῇ καλὴν ἔχειν φάσιν τὰ γράμματα, ἃ δὴ τὰ ἐναντία περιεῖχον·

σκοπήσας γὰρ μετὰ ταῦτα ἀκριβῶς τὴν καταρχὴν, εὗρον τὴν μὲν Ἀφροδίτην, τὸν οἰκοδεσπότην τῆς καταρχῆς, μηδένα λόγον ἔχουσαν πρὸς τὸν ὡροσκόπον καὶ τὴν Σελήνην καὶ τὸν Δία καὶ τὸν κλῆρον τῆς τύχης διὰ τὸ μεσεμβολεῖσθαι αὐτὴν ὑπὸ Διὸς, καθά φησι Δωρόθεος. εὗρον δὲ τὸν Ἄρεα καὶ τὸν Κρόνον, ἐμπεριέχοντας τὸν Ἑρμῆν καὶ τὸν ὡροσκόπον καὶ τὴν Σελήνην καὶ τὸν Δία καθὰ διδάσκει Ἀντίγονος· ἀλλὰ δὴ καὶ τὸ μεσουράνημα διεμέτρει Ἄρης παραιρετικὸς ὤν·

© www.astrothesaurus.gr

ἀναγκαῖον οὖν ἐστιν ἐπὶ πάσῃ καταρχῇ ζητεῖν καὶ τὰς μεσεμβολίας Ἡλίου καὶ τῶν ἀστέρων, καὶ τὰς ἐμπεριοχὰς τοῦ ὡροσκόπου καὶ τῆς Σελήνης καὶ τοῦ ἀστέρος τοῦ λόγον ἔχοντος πρὸς τὴν οἰκοδεσποτείαν τῆς καταρχῆς. οὐ γὰρ μόνον ὁ ὡροσκόπος καὶ ἡ Σελήνη ἐμπεριείχοντο ὑπὸ Κρόνου καὶ Ἄρεως, ἀλλὰ καὶ ἡ Ἀφροδίτη ἡ τὸν πλείονα λόγον ἔχουσα πρὸς τὴν καταρχήν· Ἄρης μὲν γὰρ διεμέτρει τὸν Καρκίνον καὶ Κρόνος ἐτετραγώνιζε τὴν Παρθένον·

εὑρέθησαν οὖν πάντες σχεδὸν οἱ ἀστέρες ἐμπεριεχόμενοι ὑπὸ τῶν δυοῖν κακοποιῶν· τούτου τοῦ σχήματος μέμνηται Ἀντίγονος ἐν τῇ ϛ´ γενέσει τοῦ γ´ βιβλίου. εἰ δὲ καὶ τὸ κατ᾽ εἶδος ζητῇ, ὅρα τὸν Ἑρμῆν βλαπτόμενον ὑπὸ Κρόνου καὶ ἐν τῷ δωδεκάτῳ.